τεσθαι, ὑπὸ δὲ τῶν ἀλλοτρίων οὐδαμῶς ἀλλὰ πρὸς θυμὸν ἐγείρεται· ἐπεὶ οὖν ἡ λογικὴ ζωὴ διακρίνει τὰ καλὰ ἀπὸ τῶν αἰσχρῶν, διὰ τοῦτο συμβολικῶς τὴν ζωὴν ταύτην τῷ τοῦ κυνὸς ὀνόματι προσηγόρευσεν· ἔτι δὲ καὶ ἐπειδὴ ὁ Σωκράτης ἀποδεικτικῇ μεθόδῳ τὰ παρὰ τοῦ Γοργίου συγκεχυμένως εἰρημένα διέκρινεν καὶ τὸ ἀληθὲς συνεπέρανεν, διὰ τοῦτο τοῦ κυνὸς ἐμνήσθη

p. 461b. ὥστε ἱκανῶς διασκέψασθαι.

8 πεπλήρωται ἕως ἐνταῦθα τὰ περὶ τοῦ Γοργίου.

p. 461a. ἡμῶν ἐπισκοπουμένων.

9 ἰδοὺ πῶς κοινὴν ποιεῖται τὴν εὕρεσιν.

## XI.

## Πρᾶξις σὺν θεῷ ια΄.

p. 461b. τί δὲ ὦ Σώκρατες.

1 ἐπιστήμονος ἀνδρὸς ἔργον ἐστὶ τό τε τὰ ψευδῶς ὑπολαμβανόμενα ἐκκόπτειν δίκην μοχθηρῶν χυμῶν ἐνοχλοῦντα τῇ ψυχῇ καὶ τὸ ὑφηγεῖσθαι τὸ ὄντως ποιητικὸν αἴτιον ὑποβεβλημένων ἑκάστῳ πραγμάτων· οὕτω τοίνυν κἀνταῦθα τίς μὲν οὐκ ἔστι τῆς πολιτικῆς εὐδαιμονίας ποιητικὴ αἰτία; ἔδειξεν, ὅτι οὐχ ἡ ῥητορική· λοιπὸν δὲ ἐντεῦθεν εἰσηγεῖται τίς ἐστιν· ἔδει γὰρ πρότερον εἰπεῖν τίς οὐκ ἔστιν, εἶθ' οὕτως τίς ἐστιν. ὅτι δὲ οὐκ ἔστιν ἡ ῥητορική, ἔδειξε διὰ συλλογισμῶν τοιούτων· ὁ ῥήτωρ κατὰ τὸν Γοργίαν ἐπιστήμων ἐστὶ τῶν δικαίων· ὁ ῥήτωρ πάλιν κατὰ τὸν Γοργίαν δύναται ἀδικεῖν, τὶς ἄρα ἐπιστήμων δύναται ἀδικεῖν. μερικὸν γὰρ συνάγεται, ἐπειδὴ ἐν τρίτῳ σχήματί ἐστιν. εἶτα τὸ συμπέρασμα τούτου τοῦ συλλογισμοῦ ἀρχὴ γίνεται ἑτέρου συλλογισμοῦ ἐν πρώτῳ σχήματι ἔχοντος οὕτως· τὶς ἐπιστήμων δύναται ἀδικεῖν, ὁ

12 mg. man. rec. δίκαιον τ ἄδικον

